# De magistris et discipulis sub nomine Nili Ancyrani fragmenta e codd. Paris. gr. 1188 + 1066

43 Ἄτεχνος κυβερνήτης ἕτοιμος ναυαγία καὶ ἀνεπιστήμων ἡγούμενος ἀπώλεια μαθητῶν. Ἄπειρος ποιμὴν ἐξέστρεψεν ἀστραγάλους προβάτων καὶ ἡγούμενος ὁδοὺς μαθητῶν. Οὐ διαγνώσεται ἐν ὁμίχλῃ ἀνὰ μέσον προβάτων ἀνεπιστήμων ποιμὴν οὐδ' ἐν καιρῷ πειρασμῶν ἐρεῖ τι συμφέρον διδάσκαλος ἄπειρος. Στρατηγὸς πολέμου καὶ παθῶν ἰατρός ἐστιν ἐπιστήμων ἡγούμενος· ἢ γὰρ τρωθῆναι οὐκ ἐάσει ἢ τρωθέντα ταχέως ἰάσεται. Ἀνήκοος μαθητὴς διεστραμμένον ξύλον καὶ οὐ μὴ ὀρθωθῇ ἐλεγχόμενος συνεχῶς. Ἀσύμφωνος ἀδελφὸς ἀπηχούσης λύρας νευρὰ καὶ τῇ κοινωνίᾳ λυομένη τοῦ κοινοῦ μέλους. Κηφὴν ἐσθίει μελισσῶν πόνους καὶ ῥᾴθυμος ἀδελφὸς ἐλαττοῖ συνοδίας ἐνάρετον πρᾶξιν. Δειλὸς στρατιώτης ἐκλύει πολεμιστῶν χεῖρας καὶ ἀμελὴς μοναχὸς χαυνοῖ προθυμίαν ἀδελφῶν. Σμῆνος μελισσῶν ἐργάζεται κηρίον καὶ σύστημα ἀδελφῶν βασιλείαν οὐρανῶν. Σάλπιγξ διεγείρει προθυμίαν πολεμιστῶν καὶ μαθητῶν σπουδὴν διδασκαλία πρακτικῆς ἀρετῆς. Ὅπλισον †δακτύλων λόγοις, ἡγούμενε, σοὺς ἀδελφοὺς καὶ θωράκισον ἐπαγγελίαις τῶν μελλόντων ἀγαθῶν· φράξον θυρεῷ πίστεως ἄθλοις καὶ περικνήμισον ἐλπίδι τῇ εἰς τὸν θεόν· †κήνησον τοὺς πόδας ἐν εὐαγγελικοῖς μαθήμασι καὶ ζῶσον τὴν ὀσφὺν σωφροσύνης λόγοις· δὸς μάχαιραν εἰς τὴν χεῖρα κατὰ τῶν παθῶν ὀξύτατον θυμὸν καὶ ἀντίταξον φάλαγγα παθῶν ἡδονῇ. Γύμνασον ἐν λογισμοῖς τοὺς ὁπλίτας, οἳ ἐμπείρως ἔχουσι πρὸς τὴν μάχην· καὶ δεῖξον φοβερὸν τὴν ἧτταν τῇ ἀπειλῇ τῆς αἰωνίου κολάσεως. Τὸν νικητὴν ἀνακήρυττε λαμπροῖς ἐπαίνοις, οἶδε γὰρ καὶ ἡ εὐφημία σπουδαιοτέρους ποιεῖν· καὶ τὸν ἐπηρεασθέντα θεράπευσον συμπαθῶς, οὐχ ἧττον γὰρ ἀπειλῆς ἐντρέπει συγγνώμη τὸν συνετόν.

Μὴ κινήσῃ θυμῷ ἐφ' ἁμαρτήσαντι μαθητῇ, οὐ γὰρ ὅσιον ἑαυτὸν τιτρώσκειν πρὸ τῆς θεραπείας ἑτέρου· ἀλλὰ ἀνεξικάκως διόρθωσαι πρὸς τὸ ἀγαθόν· καὶ γὰρ ἰατρὸς θεραπεύει μὲν τὸ πάθος, οὐκ ἀγανακτεῖ δὲ πρὸς τὸν ἀκουσίως νοσήσαντα. Τέμνων ἰατρός, χωρὶς ὀργῆς τοῦτο ποιεῖ· καὶ ἐλέγχων διδάσκαλος μὴ μιγνύτω τῷ ἐλέγχῳ θυμόν. Τοὺς γῆν Αἴγυπτον φεύγοντας δι' ἐρήμου ὁδηγεῖ ὁδόν· οἶδε γὰρ ἡ σπάνις παιδαγωγεῖν πρὸς ἐγκράτειαν καὶ ἀρχομένους τῆς ἀρετῆς. Προσσκήνωσον τῇ Αἰλείμ πυλῶνες δὲ αὐτοὶ ἑρμηνεύονται, τῆς ἐπὶ τὴν ἀρετὴν εἰσόδου φερούσης σύμβολον καὶ δεῖξον τοὺς ἑβδομήκοντα φοίνικας. Σκήνωσον δὲ κατὰ τὰς δώδεκα πήγας–δεῖ γὰρ καὶ τὰ τῆς νίκης σε ὑποφωνεῖν φοίνικες σύμβολον καὶ τὴν τῶν παθῶν παραμυθεῖσθαι φλόγα παρέχοντα νάματα δαψιλῶς– ἕως ἂν πάντα καθελόντες τὰ ἀλλότρια ἔθνη φθάσωσιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἐν ᾗ τὸν μακάριον τῆς ἀπαθείας βιώσονται βίον μισθὸν τῶν πόνων τὴν ἀληθινὴν κομιζόμενοι εὐφροσύνην.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.